38.

Ibid. in OD 270—272:

*νῦν δὴ ἐγὼ μήτ᾽ αὐτὸς ἐν ἀνθρώποισι δίκαιος*
*εἴην μήτ᾽ ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον*
*ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.*

*(Τὸ μὲν λεγόμενον φανερόν· εἰ μὴ ἔστι δίκη καὶ τιμωρία κατὰ τῶν ἀδίκων, μηδ᾽ ἕξουσί τι πλέον οἱ δίκαιοι τῶν ἀδίκων ἐν τῷδε τῷ παρόντι ὃ ἐφορᾷ ὁ Ζεύς, μήτ᾽ αὐτὸς εἴην δίκαιος μήτε παῖς ἐμός· δίκης γὰρ οὐκ οὔσης, ὄνομα μόνον ἔσται τὸ δίκαιον.) εἰ δὲ δὴ τὸ δίκαιον αἱρετόν, κἂν μὴ ᾖ πρόνοια, καὶ φευκτὸν τὸ ἄδικον, δῆλον ὅτι πᾶς οὗτος ὁ λόγος περιττός. διόπερ ὁ Πλούταρχος τοὺς ἑπτὰ τούτους στίχους ἐκβάλλει ἀπὸ τοῦ*

*'πάντα ἰδὼν Διὸς ὀφθαλμὸς . . .'*

*ἕως τοῦ*

*'ἀλλὰ τά γ᾽ οὔπω ἔολπα τελεῖν Δία μητιόεντα',*

*ὡς ἀναξίους τῆς Ἡσιόδου περὶ δικαίων καὶ ἀδίκων κρίσεως.*

39.

Ibid. in OD 282—284:

*ὃς δέ κε μαρτυρίῃσι ἑκὼν ἐπίορκον ὀμόσσας*
*ψεύσεται, ἐν δὲ δίκην βλάψας νήκεστον ἀασθῇ,*
*τοῦ δέ τ᾽ ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται.*

**Τὰ γὰρ τῶν πατέρων ἀδικήματα χραίνει καὶ τοὺς ἐκγόνους αὐτῶν καὶ ἐνόχους ἀποφαίνει ταῖς τιμωρίαις· καὶ γὰρ ὀνείδη καὶ ἀδοξίαι αὐτοῖς ἐκ τῶν ἀδικιῶν συμβαίνουσι, καὶ τίσεις ἐκ τῶν ἁμαρτημάτων ἀπολαμβάνοντες, ὧν ἔσχον ἀδικήσαντες οἱ πατέρες αὐτῶν, συναπολαύουσι τῶν ὀφειλομένων ἐκείνοις κολάσεων*. ἄλλως δὲ γινώσκει τὸ θεῖον*